# TEZAUR LITURGIC

## 19 IUNIE

# SLUJBA SF.MUCENIC ZOSIMA DE LA APOLONIA

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 19 Ἰουνίου

# Ἀκολουθία Μάρτυρος ΖΩΣΙΜΟΥ

## ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὴν Προοιμιακόν τὸ Μακάριος ἀνήρ. Εἰς δέ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.

Νῦν ἡ σεβάσμιος μνήμη τῆς σῆς ἀθλήσεως, ἡμᾶς συναγαγοῦσα, εὐφημῆσαι προτρέπει, τὰ τρόπαια τοὺς ἄθλους καὶ τάς λαμπρὰς ἀριστείας ἐν ᾄσμασιν, ἐν τῇ παρούσῃ ἑσπέρᾳ καὶ τῇ νυκτί, ἀθλητικώτατε Ζώσιμε.

Ἀποτμηθεὶς διὰ ξίφους πάσας ἐξέτεμες, τάς μηχανὰς τοῦ πλάνου καὶ δολίου βελίαρ, ὦ Ζώσιμε θεόφρον, διὸ τοὺς πιστῶς τὴν σὴν μνήμην γεραίροντας, ῥῦσαι παγίδων τῶν τούτου ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις ἱκεσίαις σου.

Ἐπὶ τῇ μνήμῃ προθύμως δεῦτε συνέλθωμεν, Ζωσίμου τοῦ γενναίου καὶ λαμπρῶς εὐφρανθῶμεν· αὐτὸς γὰρ ἑστιάτωρ ὑπάρχει ἡμῖν τοῖς πιστῶς προσιοῦσιν αὐτῷ· καὶ τῶν δεινῶν ἀπαλλάττει ταῖς πρὸς Θεὸν ἱκεσίαις αὐτοῦ πάντοτε.

Ἕτερα. Ἦχος δ´. Ἔδωκας σημείωσιν.

Ἐνέδυσας Κύριε, τὸν ἀθλοφόρον Σου δύναμιν τὴν ἐξ ὕψους ἀήττητον, καὶ τοῦτον ἐνίσχυσας διὰ Σὲ βασάνους, ἐξ ἐχθρῶν ἀνόμων ὑπενεγκεῖν ἀθλητικῶς,

καὶ μαρτυρίου λαβεῖν τὸν στέφανον· δι᾿ οὗ ἡμῖν συγχώρησιν ἁμαρτημάτων κατάπεμψον, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Σταυρὸν ὁπλισάμενος ὁ ἀθλοφόρος Σου Κύριε καὶ Σῷ ζήλῳ πυρουμένος, εἰδώλων ἐνέπρησε τὰ τεμένη πάντα, καὶ τάς παρατάξεις τοῦ ἀρχεκάκου καθελὼν Ζώσιμος ὁ ἔνδοξος, βραβεία νίκης Δέσποτα, τὴν βασιλείαν ἀπείληφε παρὰ Σοῦ τὴν οὐράνιον καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀστέρα ὑπέρλαμπρον τῇ Ἐκκλησίᾳ ἀνέδειξας, Ζώσιμον τὸν Μάρτυρα, ὁπλίτην τε ἄριστον δαδουχοῦντα πᾶσαν, νῦν τὴν οἰκουμένην θαυματουργίαις μυστικαῖς καὶ ἀθεΐας σκότος ἐλαύνοντα, ὑφ᾿ οὗ φωταγωγούμενοι θεοπρεπῶς ἀνυμνοῦμέν Σε, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. β΄.

Ἐξέλαμψε σήμερον ἡ ἔνδοξος μνήμη σου, Ζώσιμε πολύαθλε, συγκαλοῦσα ἡμᾶς τοὺς φιλεόρτους, πρὸς εὐφημίαν καὶ δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ὅθεν καὶ προστρέχοντες ἐν τῇ σορῷ τῶν λειψάνων σου, ἰαμάτων χαρίσματα λαμβάνομεν καὶ τὸν σὲ στεφανώσαντα Σωτῆρα Χριστόν, ἀνυμνοῦμεν εἰς αἰῶνας ἀκαταπαύστως δοξάζοντες.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει Σε, Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει Σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ Σοῦ

τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Ὅς φυλάσσει τὴν ἐντολὴν τοῦ Θεοῦ σώζει τὴν ἑαυτοῦ ψυχήν, ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ καθ’ ἑαυτὸν ἀποθανεῖτε. Ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ· κατὰ τὸ δόγμα αὐτοῦ ἀνταποδοθήσεται αὐτῷ. Παίδευε τὸν υἱόν σου· οὕτω γὰρ ἔσται σοι εὔελπις. Ἄκουε υἱὲ παιδείαν πατρός σου, ἵνα σοφὸς γένῃ ἐπὶ γῆρας. Πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἄνδρός, ἡ δὲ βουλὴ τοῦ Κυρίου ἐπικρατήσει εἰς τὸν αἰῶνα. Καρπὸς ψυχῆς ἐλεημοσύνη, ἡ δὲ προσευχὴ ἄνευ ἐλεημοσύνης ἄκαρπος ἐστί· κρεῖσσον δὲ πτώχος δίκαιος ἤ πλούσιος φιλάργυρος. Κακόφρων ἀνὴρ πολὺ ζημιωθήσεται. Ἐὰν ἐλέγξης ἄνδρα φρόνιμον, νοήσει αἴσθησιν, πρὸς διόρθωσιν· ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε, μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε. Ἀρχὴ σοφίας φόβος Κυρίου, καὶ βουλὴ Ἁγίων σύνεσις.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὲ μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος· ὅν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγεῖ δὲ πάντα υἱὸν ὅν παραδέχεται. Μακάριος ἄνθρωπος ὅς εὗρε σοφίαν, καὶ θνητὸς ὅς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἤ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲ πονηρὸν, εὔγνωστος ἐστὶ πᾶσι, τοῖς ἀγαπῶσιν αὐτὴν, πᾶν δὲ τίμιονοὐκ ἄξιον αὐτῆς ἐστί. Μῆκος γὰρ βίου, καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. Ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλαιον ἐπὶ γλώσσης φορεῖ. Αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλοὶ, καὶ αἱ τρίβαι αὐτῆς μὴ τηρῶνται. Σοφίας οὐ μήποτε ἰσχύσει κακία.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Σοφία ἐν ἐξόδοις ὑμνεῖτε, ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει. Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει. Υἱὲ μὴ παραῤῥόης τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν, ἵνα ζῇ σῇ ψυχὴ καὶ χάρις ἐπὶ τῷ σῷ τραχήλῳ, ἔσται δὲ ἴασις ταῖς σαρξί σου καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου, ὁ δὲ ποῦς σου, οὐ μὴ προσκύψη}ἐὰν γὰρ πάθῃ ἄφοβος ἔσῃ. Ἐὰν καθεύδῃς, ἡδέως ὑπνώσῃς· ὁ γὰρ Κύριος ἔσται πρὸ τῶν ποδῶν σου, καὶ ἐγείρει σὸν πόδα, ἵνα μὴ ἀγευθῇς. Μὴ ἀπόσχου εὐ ποιῶν ἐνδεεῖς ἡνίκα ἄν ἡ χείρ σου ἔχῃ βοηθεῖν· μὴ εἴπῃς ἐπανελθεῖν ἐπάναγκες, καὶ αὔριον

σοὶ δώσω δυνατοῦ σοι ὄντος εὐ ποιεῖν. Ἀκάθαρτος ἔναντι Κυερίου, πᾶς παράνομος, ἐν δὲ δικαίοις ἐνεδρεύει. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Ἀγῶνα καλὸν ἠγωνίσω καὶ δρόμον τετέλεκας τοῦ μαρτυρίου σου Μάρτυς Ζώσιμε· διὸ ἐν τοῖς ὑψίστοις μετ' Ἀγγέλων χορεύεις, ἀντάξια τῶν πόνων σου, εἰληφὼς τὰ ἄνω βασίλειᾳ· ἀλλὰ πρέσβευε, συμπολῖτα θεσπέσιε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος β΄.

Αἱμάτων τοῖς κρουνοῖς τὸ σῶμα βάψας, ἀκινδύνως διῆλθες τὴν τοῦ μαρτυρίου ὁδόν, παμμακάριστε Ζώσιμε· ὅθεν καὶ ἰσχὺν τὴν ἔνθεον περιζωσάμενος, τά τοῦ ἐχθροῦ ἐξέκοψας μηχανουργήματα. Χριστῷ τῷ Θεῶ ὑπὲρ ἡμῶν πρεσβεύων, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄.

Αἶνος τῷ Θεῷ ἐκ χοϊκῶν χειλέων προσάδεται, ἐπὶ τῇ θείᾳ μνήμῃ σου, Ζώσιμε πολύαθλε· σὺ γὰρ ὤφθης ἀκραιφνὴς στρατιώτης τοῦ λόγου τῆς πίστεως φαυλίσας ἐν τῷ σκάμματι τῶν εἰδώλων τάς μορφάς· καὶ νῦν προσειρείσθης τῷ φέγγει τῆς Τριάδος, καταπυρσεύων ἡμῶν τάς διανοίας ταῖς πρεσβείαις σου.

Ἦχος δ΄.

Δεῦτε φιλομάρτυρες ἀσματικὴν ὑμνωδίαν, τῷ ἀναστᾶντι ἐκ τάφου Χριστῷ προσάξωμεν. Σήμερον γὰρ ἔαρ νοητὸν ἀνέτειλεν ἡμῖν, περκάζον ἄνθη τὰ λογικά, ἡ παγκόσμιος μνήμη Ζωσίμου τοῦ Μάρτυρος, οὗτινος τὰ στίγματα ἀνανεοῦντες κομιζόμεθα ἰαμάτων πηγάς. Αὐτὸν καὶ νῦν ἱκετεύσωμεν τοῦ πρεσβεύειν τὸν κόσμον καὶ σώσαι τάς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος β΄.

Δεῦτε φιλομάρτυρες πάντες, συνελθόντες ἀναδήσωμεν ὡς ἄνθεσι ταῖς εὐφημίαις, Ζώσιμον τὸν θεοστεφὴ καὶ ἀήττητον Μάρτυρα. Οὗτος γὰρ ἐν ταῖς θλίψεσι τῆς ἀθλήσεως τῇ τοῦ Θεοῦ χάριτι ἐνδυναμωθείς, τὸν πτερνιστὴν κατεπάτησε δράκοντα, καὶ τελέσας ἀνδρικῶς, τὸν δρόμον τοῦ μαρτυρίου τὸν τῆς νίκης στέφανον ἐνεδυσατο, τὸν ἀμάραντον τῆς θείας δόξης· καὶ νῦν ἐν οὐρανοῖς, σὺν Ἀγγέλοις χοροβατῶν στεφηφόρος, τῷ Κυρίῳ πρεσβεύει, σωθῆναι τάς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι,...

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε πιστοὶ συνελθόντες ἀνευφημήσωμεν, τὸν ἀθλητὴν τὸν μέγαν, καὶ γενναῖον ὁπλίτην, Ζώσιμον τὸν πᾶσαν τὴν τοῦ ἐχθροῦ δυναστείαν πατήσαντα, τούτῳ

βοῶντες ἐν πίστει, ὑπὲρ ἡμῶν, τὸν Χριστὸν Μάρτυς ἱκέτευε.

Στ. *Δίκαιος ὡς φοῖνιξ...*

Τὸν ἀριστέα τὸν θεῖον, καὶ ζηλωτὴν τοῦ Χριστοῦ, τὸ τῆς ἁγνείας κάλλος, τὴν πηγὴν τῶν θαυμάτων, Ζώσιμον τὸν μέγαν, πάντες πιστοί, ἐν ᾠδαῖς εὐφημήσωμεν, ἁγιαζόμενοι σώματα καὶ ψυχάς, ἐν τῇ μνήμῃ τῇ ἐνδόξῳ αὐτοῦ.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ....*

Ἐπὶ τῇ μνήμῃ σου χαίρει ἡ σὴ πατρὶς ἀθλητά, καὶ συγκαλεῖται πάσας τῶν πιστῶν τάς χορείας, Ζώσιμε τρισμάκαρ, τελέσαι τὴν σὴν φωτοφόρον πανήγυριν, ἧς καὶ ἡμεῖς συνελθόντες ἀσματικῶς εὐφημοῦμεν τοὺς ἀγῶνάς σου.

Δόξα. Ἦχος δ΄.

Δεῦτε τῶν πιστῶν τὸ σύστημα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν καὶ τὸν ἀθλοφόρον Χριστοῦ τοῦ Θεοῦ ἐν ὕμνοις τιμήσωμεν Ζώσιμον τὸν ἔνδοξον. Σήμερον γὰρ ὡς ἑωσφόρος ἀνέτειλεν ἡμῖν, καὶ καταφωτίζει τὰς διανοίας τῶν πιστῶν, τῶν ἐν πίστει καὶ πόθῳ ἐπιτελούντων, τὴν μνήμην αὐτοῦ τὴν σεβάσμιον.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ Θεὸν τὸν ἀχώρητον, ἐν γαστρί Σου χωρήσασα, φιλανθρώπως ἄνθρωπον χρηματίσαντα, καὶ τὸ ὑμέτερον φύραμα, ἐκ Σοῦ προσλαβώμενον, καὶ θεώσαντα σαφῶς, μὴ παρίδῃς με Πάναγνε, νῦν

θλιβόμενον, ἀλλ᾽ οἰκτείρησον τάχει καὶ παντοίας, δυσμενείας τε καὶ βλάβης τοῦ πονηροῦ ἐλευθέρωσον.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Στολαῖς ταῖς ἐξ αἵματος ὡραϊζόμενος, Κυρίῳ παρίστασαι τῷ Βασιλεῖ οὐρανῶν, ἀοίδιμε Ζώσιμε· ὅθεν σὺν ἀσωμάτων καὶ Μαρτύρων χορείαις, ᾄδεις τῇ τρισαγίῳ καὶ φρικτὴ μελωδία· διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς σῷζε τοὺς δούλους σου.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον....

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Τοὺς νόμους τοῦ Χριστοῦ ἐν χερσὶ περιφέρων, ἐπέστης ἐκβοῶν τοῖς ἐχθροῖς ἐν σταδίῳ, αὐτόκλητος παρεῖμι ἐναθλῆσαι στεῤῥότατα· ὅθεν κλίνας σου περιχαρῶς τὸν αὐχένα, ὑποδέδεξαι, τὴν ἐκτομὴν τὴν τοῦ ξίφους τελέσας τὸν δρόμον σου.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον...

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος ὁ αὐτός.

Εὐψύχως τὸν καλὸν διανύσας ἀγῶνα, ἐνίκησας ἐχθρὸν τὸν πολέμιον Μάρτυς, βραβεῖα καὶ θαύματα

ἐκ Θεοῦ κομισάμενος, ὅθεν ἅπασα ἡ τῶν ἐθνῶν Ἐκκλησία, μακαρίζει σὲ ἐν τῇ παρούσῃ ἡμέρᾳ, συμφώνως θεῖε Ζώσιμε.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Μητέρα Σὲ Θεοῦ ἐπιστάμεθα πάντες,...

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Εὐσεβείας τὴν γνῶσιν καταλαβών, ἀγνωσίας τὸν ζόφον ἀποβαλῶν, Μάρτυς κατεπάτησας τὸν ἀρχέκακον ὄφιν· τῷ γὰρ θείῳ πόθῳ τὸν νοῦν πυρπολούμενος, τῶν εἰδώλων ἔσβεσας, τὸ ἄθεον φρυαγμα· ὅθεν ἐπαξίως ἀμοιβὴν τῶν ἀγώνων, ἐδέξω τὸν στέφανον στρατιώτου νικήσαντος, ἀθλητικώτατε Ζώσιμε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Ἀνδρείᾳ τὴν ψυχὴν ὁπλισμένος, θεόφρον ἐξέδωκας σαυτὸν, εἰς ποικίλας βασάνους, τῷ πόθῳ φλεγόμενος, τοῦ Δεσπότου σου Ζώσιμε· ὅθεν ἤλεγξας τὴν τῶν τυράννων μανίαν, καὶ τὸν στέφανον, παρὰ Θεοῦ ἐκομίσω τῆς νίκης, πολύαθλε.

Καὶ νῦν. Θεοτοκίον.

Κυβέρνησον Ἁγνὴ, τὴν ἀθλίαν ψυχήν μου, καὶ οἴκτειρον αὐτὴν ὑπὸ πλήθους πταισμάτων, εἰς βυθὸν ὀλισθαίνουσαν, ἀπωλείας Πανάμωμε· καὶ ἐν ὥρᾳ με,

τῇ φοβερὰ τοῦ θανάτου, ἐλευθέρωσον, κατηγορούντων δαιμόνων φρικτῆς ἀποφάσεως.

Οἱ Ἀναβαθμοί, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.
Προκείμενον ἦχος δ’. *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...*
Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...*

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πῶς δύσκολόν ἐστι, τοὺς πεποιθότας ἐπὶ τοῖς χρήσμασιν εἰς τὴν Βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τῆς τρυμαλιᾶς τῆς ῥαφίδος διελθεῖν· ἤ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. Οἱ δὲ περῤῥισῶς ἐξεπλήσσοντο, λέγοντες πρὸς ἑαυτοῦς: Καὶ τὶς δύναται σωθῆναι; Ἐμβλέψας δὲ αὐτοῖς ὁ Ἰησοῦς, λέγει: Παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλ’ οὐ παρὰ τῷ Θεῷ. Ἥρξατο δὲ ὁ Πέτρος λέγει αὐτῷ: Ἰδοὺ, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν Σοι. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν: Ἀμὴν λέγω ὑμῖν, οὐδείς ἐστιν, ὅς ἀφῆκεν οἰκίαν, ἤ ἀδελφοὺς, ἤ ἀδελφὰς, ἤ πατέρα, ἤ μητέρα, ἤ γυναῖκα, ἤ τεκνα, ἤ ἀγροὺς ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτω, οἰκίας, καὶ ἀδελφοὺς, καὶ ἀδελφὰς, καὶ μητέρας, καὶ τέκνα, καὶ ἀγροὺς, μετὰ διωγμῶν, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον. Πολλοὶ δὲ ἔσονται πρῶτοι, ἔσχατοι· καὶ οἱ ἔσχατοι πρῶτοι. Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες

εἰς Ἱεροσόλυμα· καὶ ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς, καὶ ἐθαμβοῦντο, καὶ ἀκολουθοῦντες ἐφοβοῦντο.

Ὁ Ν΄ Ψαλμός.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλεήμον, ἐλέησόν με ὁ Θεός…*

Σήμερον ἡ οἰκουμένη πᾶσα ταῖς του ἀθλοφόρου αὐγάζεται ἀκτῖσι· καὶ ἥ του Χριστοῦ Ἐκκλησία τοῖς ἄνθεσιν ὡραϊζομένη, Ζώσιμε βοᾷ σοι· Θεράπων Χριστοῦ καὶ προστάτα θερμοτατε, μὴ ἐλλίπῃς πρεσβεύων ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Ὁ Μικρὸς Παρακλητικὸς Κανὼν τῆς Θεοτόκου εἰς τέσσαρα καὶ ὁ πάρων τοῦ Ἁγίου Ζωσίμου εἰς τέσσαρα, τοῦ ὁποίου ἡ ἀκροστιχὶς: *Ζώσιμον ἐπαινῶ τὸ κλέος Ἀπολλωνιάδος.*

ᾨδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Ζωστῆρι ὑπὲρ χρυσὸν ἐκλάμποντι, Μάρτυς κοσμούμενος, καὶ μαρτυρίου λάμπων καλλοναῖς, τῷ Δεσπότῃ παρίστασαι ὑπὲρ ἡμῶν δεόμενος, τῶν σὲ τιμώντων μάκαρ Ζώσιμε.

Ὡς ἄστρον πυρσοφαὲς ἀνέδειξε Χριστὸς ἐν ὕψει σε, καὶ καταυγάζεις ἅπαντας ἡμᾶς, τοὺς πιστῶς

ἀνυμνοῦντάς σε, ἐπὶ τῇ θείᾳ μνήμῃ σου, Ζώσιμε παμμακάριστε.

Σωθῆναι τοὺς τὴν σεπτήν σου σήμερον μνήμην γεραίροντας, ἀπὸ παντοίων Ζώσιμε δεινῶν, καὶ κινδύνων καὶ θλίψεων, τὸν εὐεργέτην Κύριον, νῦν καθικέτευε πανένδοξε.

Θεοτοκίον.

Ἰάσω τὴν συντριβὴν Πανάμωμε, τῆς ἀνθρωπότητος, τὸν Ποιητὴν τεκοῦσα τοῦ παντός, τὸν ἡμᾶς ἀνορθώσαντα, καταῤῥαγέντας πτώματι τῶν προπατόρων, Θεονύμφευτε.

ᾨδὴ γ.΄ Εὐφραίνεται ἐπὶ Σοί.

Μνηστεύεται σὲ Χριστός, ἀντὶ χιτῶνος τῶν παθῶν δόξης σοι, καταστολὴν δωρούμενος, καὶ ἀναγεννήσεως ἔνδυμα.

Ὁ βίος σου φωταυγής, ταῖς ἐναρέτοις ἀστραπαῖς ἔλαμψε, φωταγωγῶν Ζώσιμε, τοὺς εἰλικρινῶς σε γεραίροντας.

Νυττόμενος ἀληθῶς, τῇ ἀγαπήσει τοῦ Χριστοῦ ἔνδοξε, Ζώσιμε στεῤῥῶς ἤθλησας, πόνοις ἀφειδῶς τοῖς τοῦ σώματος.

Θεοτοκίον.

Ἐσκήνωσεν ἐν ἡμῖν, ὁ ἐν ὑψίστοις κατοικῶν Πάναγνε, ὑπερφυῶς σάρκα γὰρ ἐκ Σοῦ προλαβὼν ἠμφιάσατο.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Λίθος τίμιος τῆς Ἐκκλησίας, φυλαττόμενος ἐν τοῖς ταμείοις, τοῖς οὐρανίοις γέγονας Ζώσιμε· τοὺς προσκυνοῦντας τοὺς λίθους διήλεγξας καὶ μαρτυρίου ποτήριον ἔπιες, Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Ἕτερον. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Ἀνδρεία τὴν ψυχήν, ὡπλισμένος θεόφρον, ἐξέδωκας σαυτὸν εἰς ποικίλας βασάνους, τῷ πόθῳ φλεγόμενος, τοῦ Δεσπότου σου Ζώσιμε· ὅθεν ἤλεγξας, τὴν τῶν τυράννων μανίαν, καὶ τὸν στέφανον, παρὰ Θεοῦ ἐκομίσω τῆς νίκης, πολύαθλε.

Καὶ νῦν. Θεοτοκίον.

Ἐλπὶς Χριστιανῶν Παναγία Παρθένε, Ὃν ἔτεκες Θεὸν ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύστως ἱκέτευε σὺν ταῖς ἄνω Δυνάμεσι, δοῦναι ἄφεσιν ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν βίου τοῖς πίστει καὶ πόθῳ, ἀεὶ σὲ δοξάζουσι.

ᾨδὴ δ΄. Ἐπαρθέντα Σε ἰδοῦσα.

Παριστάμενος ἐνώπιον τῶν τυράννων, τό τοῦ Κυρίου ὄνομα, πίστει ἀδιστάκτῳ, Ζώσιμε ὡμολόγησας, καὶ χαίρων ἐνήθλησας· ὅθεν εὐσεβῶς σὲ γεραίρομεν.

Ἀναρτώμενος ἐν ξύλῳ γενναιοφρόνως, τοὺς αἰκισμοὺς ὑπέφερες Μάρτυς ἀθλοφόρε, πάθος γὰρ εἰκόνιζες, τὸ θεῖον καὶ ἄχραντον, δι᾽ οὗ τὴν ἀπάθειαν εὕρηκας.

Ἰατρεῖον ἀναδέδεικται πάσης νόσου, τὸ ἱερὸν σοῦ τέμενος πίστει τοῖς φιτῶσι, καὶ τάς ἀριστείας σου, ἐν τούτῳ γεραίρουσι, Ζώσιμε παμμάκαρ θαυμάσιε.

Θεοτοκίον.

Νοερῶς Σὲ ὁ Προφήτης προεθεώρει, ὅρος Σεμνὴ κατάσκιον ἐξ οὗ ὁ Δεσπότης, ἀληθῶς ἐπέφανε, σαρκὸς ὁμοιώματι, σῴζων ἐκ φθορᾶς τὸ ἀνθρώπινον.

ᾨδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Ὦ γνώμης εὐσεβοῦς! ὢ γενναίου φρονήματος! ὢ πίστεως θερμοτάτης! τοῦ σεπτοῦ ἀθλοφόρου, δι᾽ ἧς Θεοῦ ἐπέτυχε.

Ταῖς θείαις ἀστραπαῖς, τοῦ πανσόφου κηρύγματος ἐφώτισας ἀγνωσίας, τοὺς νυκτὶ συσχεθέντας, Ζώσιμε παμμακάριστε.

Ὁ θεῖος ποταμός, προελθὼν ἐκ καρδίας σου, κατέκλυσε τοὺς χειμάῤῥους, τῆς ἀπάτης καὶ φρένας, πιστῶν Ζώσιμε ἤρδευσας.

Θεοτοκίον.

Κατεύθυνον Ἁγνή, τὴν εὐχὴν τοῦ ἱκέτου Σου, πρὸς Κύριον τὸν Υἱόν Σου, ἵνα εὕρῳ τὴν λύσιν, τῶν πολλῶν παραπτώσεων.

ᾨδὴ στ΄. Θύσω Σοὶ μετὰ φωνῆς.

Λύσόν μου τάς σειρὰς τῶν πταισμάτων πρεσβείαις σου· ὡς γὰρ ἀήττητος Μάρτυς, παῤῥησίαν ἔχεις πρὸς τὸν Δεσπότην, καὶ γενοῦ μοι, καταφυγὴ καὶ σκέπη Ζώσιμε.

Ἐνίκας, προθυμία συντόνως τοὺς ἄφρονας, ἐπὶ σταυροῦ ἠπλωμένος, καὶ τοῖς ἥλοις μάκαρ ἐμπεπαρμένος, εἰκονίζων, τὸ σωτήριον πάθος τοῦ Πλάστου σου.

Ὄνυξι, σιδηροῖς σοῦ τὰ σπλάγχνα κατέξανεν, ἀνηλεῶς ὁ διώκτης· ἀλλ᾽ αὐτὸς εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα μετὰ δόξης ἐναπέθου Ζώσιμε Ἔνδοξε.

Θεοτοκίον.

Στόματι λογισμῷ καὶ καρδία Πανάχραντε, Σὲ Θεοτόκον κηρύττω· διὰ Σοῦ Θεῷ γὰρ προσκατηλλάγην ἀπωσμένος, παραβάσει τὸ πρὶν τοῦ προπάτορος.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τῆς πλάνης τεμῶν τὸ κράτος τῇ ἐνστάσει σου καὶ νίκης λαβὼν τὸ στέφος τῇ ἀθλήσει σου, τοῖς Ἀγγέλοις ἔνδοξε, συναγάλλει Ζώσιμε πολύαθλε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Γνῶσιν ἐνθεὶς τὴν ψυχὴν μου, καθαρόν μου τάς φρένας, καὶ τῶν Σῶν ἐντολῶν ἐργάτην Σῶτερ ἀνάδειξον, ἵνα ἰσχύσω καταπαλαῖσαι τάς ποικίλας τῶν παθῶν μου ἐπαναστάσεις, νικητικὸν ἀφθαρσίας βραβεῖον δεξάμενος, πρεσβείαις τοῦ Σοῦ γενναίου ἀθλοφόρου Ζωσίμου Φιλάνθρωπε· καὶ γὰρ Αὐτὸς ἡμᾶς ἐν τῇ μνήμῃ αὐτοῦ συνεκαλέσατο, πρεσβεύων

ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν τῶν τὴν ἐτήσιον μνήμην καὶ πανήγυριν ἐπιτελούντων.

Συναξάριον.

Τῇ ιθ'τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἁγίου Μάρτυρος Ζωσίμου.

Στίχοι.

*Εὕρατο ζωὴν Ζώσιμος αἰωνίαν,*
*Τῆς αὐτοζωῆς ἕνεκεν θανὼν ξίφει.*
*Ψυχὴν ὑπὲρ σοῦ Ζώσιμος θεὶς φιλτάτην.*
*Ξίφει θανὼν, ζῇ ψυχικὴν ζωὴν, Λόγε.*
*Ἐννεακαιδεκάτῃ ξίφεσι Ζώσιμος θνῄσκει.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ᾨδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Ἀκτινοβόλοις, αὐγαῖς παμμάκαρ φωτιζόμενος, αἴγλης ἀρχιφώτου χύσει τε λαμπρυνθείς, τὴν οὐράνιον ἀπείληφας, χαίρων ἀπόλαυσιν, Ζώσιμε Μαρτύρων τὸ καύχημα.

Πυρὸς παμμάκαρ, δυνατωτέραν ἔχων ἔνστασιν, μέσον ἐμβληθεὶς πανεύφημε τῆς φλογός, ἀπερίτρεπτος διέμεινας, πλάνης τοὺς ἄνθρακας, ἀποσβενύων πολύαθλε Ζώσιμε.

Ὁμολογίας, σὺ τῷ στεφάνῳ Ζώσιμε διέπρεψας ἔργῳ, διελέγξας λόγους τῶν δυσσεβών, τοὺς πιστοὺς δὲ ἐβεβαίωσας· Εὐλογημένος εἶ, ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Θεοτοκίον.

Λελαμπρυσμένη δεδοξαμένη ὑπερλάμπουσα, φέγγει παρθενίας Μήτηρ Θεοῦ, μετὰ σώματος ἐγέννησας καὶ ἐσπαργάνωσας, τὸν ὁμίχλη τὴν γῆν σπαργανώσαντα.

ᾨδὴ η΄. Χεῖρας ἐκπετάσας.

Λόγχη κεντηθέντα τὴν πλευράν, γενναῖε Ζώσιμε, καὶ αἷμα βλύσαντα, Θεὸν ἑώρακας ἄνθρωπον, διὰ σπλάγχνα χρηματίσαντα, καὶ κατετρώθης τῷ αὐτοῦ γλυκυτάτῳ ἔρωτι, ἀναμέλπων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὡς κρίνον, ὡς ῥόδον νοητόν, ὀδμαῖς τῶν ἄθλων σου, εὐωδιάζεις ἡμᾶς, διώκων χάριτι πάντοθεν, τὸ δυσῶδες τῶν παθῶν ἡμῶν, καὶ παρορμῶν ἀναβόαν, εὐωδέστατη ψυχή· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Νοὸς καρτερία τὸν πικρόν, ὑπέστης θάνατον, πυρὶ ὀπτώμενος, ὡς ἄρτος Ζώσιμε ἥδιστος, τοῦ τῶν ὅλων βασιλεύοντας· ᾧ παριστάμενος βοάς, ἀγαλλομένη ψυχή· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Ἰδοὺ πᾶσαι Κόρη γενεαὶ ὡς προεφήτευσας, Σὲ μακαρίζουσι, Θεὸν μακάριον τέξασαν, μακαρίους ἐργαζόμενον, τοὺς τοῖς προστάγμασιν αΑτοῦ ἀκολουθοῦντας πιστῶς καὶ βοῶντας· πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Ἀπολλωνιέων ἡ πόλις, σοῦ τοῖς σπαργάνοις καὶ τοῖς ἄθλοις, Μάρτυς ἐγκαυχάται ἀθλοφόρε· ἡ Ἐκκλησία τῶν πρωτοτόκων δέ, μετὰ δικαίων ἔχει σοῦ, πνεῦμα τὸ θεῖον εὐφραινόμενον.

Δῶμα ἐπουράνιον εὗρες καὶ διαμενοῦσαν πατρίδα, ἀντὶ τῶν πολλῶν παθημάτων, καὶ ξενιτείας καὶ μεταβάσεως· καὶ νῦν τρυφὰς λαβόμενος, τῆς αἰωνίου ἀπολαύσεως.

Ὅλον σεαυτὸν τῷ Κυρίῳ, θυσίαν ζῶσαν προσενέγκας, ὅλος τῆς αὐτοῦ βασιλείας, συγκληρονόμος ὤφθης καὶ μέτοχος· καὶ σὺν αὐτῷ γηθόμενος, νῦν βασιλεύεις μάκαρ Ζώσιμε.

Θεοτοκίον.

Σαρκὶ ἐπιδημῆσαι θελήσας, ὁ διακοσμήσας πάντα Λόγος, ἐν Σοὶ κατεσκήνωσε μόνην, ἁγιωτέραν πάντων εὑράμενος καὶ Θεοτόκον ἔδειξεν, ἐπ᾽ ἀληθείας Μητροπάρθενε.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τοῖς πᾶσι τὰ χαρίσματα τῶν ἰαμάτων Ἅγιε, σὺ δαψιλῶς παροχεύεις, Ζώσιμε ἀθλοφόρε· ὡς ἔχων πρὸς τὸν Κύριον, τὴν παῤῥησίαν πάντοτε, τοὺς ἐκ θερμῆς σὲ πίστεως, προσκαλουμένους προφθάνων, καὶ διασῴζων παμμάκαρ.

Ἕτερον. Ὅμοιον.

Ζωσίμου τοῦ θεόφρονος καὶ πανενδόξου Μάρτυρος· αὕτη ἐπεῖδεν ἡμέρα, τὴν ἄθλησιν ἧς τὴν

μνήμην, λαμπρῶς νῦν ἑορτάσωμεν, Χριστοῦ γὰρ ὑπερήθλησε, διαναστῶμεν προθύμως, πρὸς ἀρετῶν εὐκαρπίαν.

Θεοτοκίον.

Ταῖς Σαῖς ἀγκάλαις Ἄχραντε, βαστάσασα τὸν Κύριον, τὸν τῇ ἀχράντῳ παλάμῃ διακρατοῦντα τὰ πάντα, Αὐτὸν θεομακάριστε, ἱκέτευε ῥυσθῆναι με, χειρὸς δολίου δράκοντος, τοῦ ἀναιδῶς σπαράττοντος, τὴν ταπεινήν μου καρδίαν, εἰς ἡδονὰς ψυχοφθόρους.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ζωσίμου θείου τοὺς ἄθλους δεῦτε τιμήσωμεν, δι᾽ ὧν ἡμῖν πηγάζει ἡ ἀένναος χάρις, Χριστοῦ τοῦ Ζωοδότου καὶ γὰρ κραταιῶς, τοὺς ἐχθροὺς τροπωσάμενος, κατὰ παθῶν καὶ δαιμόνων καὶ ὀδυνῶν, τὴν ἐξουσίαν ἐκομίσατο. (Δίς).

Ἡ τῶν λειψάνων σου κόνις, θαυμάτων βλύζει πηγάς, τῶν κεραυνῶν τὴν λύσιν, καὶ λοιμῶν καὶ κινδύνων, τὴν λύτρωσιν παρέχει, διὸ σὲ καὶ νῦν παμμακάριστε Ζώσιμε, ἡ σὴ πατρὶς ἱκετεύει ὅπως ἀεὶ διασῴζηται τῆς βλάβης αὐτῆς.

Τῇ παμφαεῖ πανηγύρει τοῦ θείου Μάρτυρος, εὐωχηθῶμεν πάντες, καὶ πιστῶς εὐφρανθῶμεν, φιλέορτοι τιμῶντες, φαιδρὰν ἑορτήν, τῆς αὐτοῦ τελειώσεως, ἀσματικῶς ἀνυμνοῦντες τὸν Ἰησοῦν, τὸν δοξάσαντα τὴν μνήμην αὐτοῦ.

Δόξα. Ἦχος α΄.

Τὰ τῶν Ἀγγέλων στρατεύματα, σήμερον χορεύουσιν ἐπὶ τῇ μνήμῃ τοῦ Μάρτυρος Ζωσίμου· καὶ τῶν Ἀπολλωνιέων ἡ πόλις πιστῶς πανηγυρίζει καὶ χαρμονικῶς ἐκβοᾷ· χαίροις πανεύφημε, ὁ τοῦ πολυπλόκου βελίαρ τὰ ἔνεδρα τροπωσάμενος, καὶ τῆς νίκης τὸν στέφανον παρὰ Χριστοῦ ἀναδησάμενος· χαίροις στρατιῶτα τοῦ μεγάλου βασιλέως καὶ σωτῆρος ἡμῶν· ὁ τοὺς βωμοὺς τῶν εἰδώλων καταστρεψάμενος· χαίροις Μαρτύρων ἐγκαλλώπισμα καὶ πρέσβευε λυτρωθῆναι ἀπὸ πάσης ἀνάγκης, τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη....

Δοξολογία. Καὶ Ἀπόλυσις.

Μεγαλυνάριον.

Ἄστρον ἀνατέταλκε φαεινὸν ἐξ Ἀπολλωνίας, ὁ πολύαθλος τοῦ Χριστοῦ Μάρτυς καὶ φωτίζει πιστῶν ἅπαν τὸ πλῆθος, Ζώσιμος ὁ θεῖος, ὃν νῦν γεραίρομεν.

